## Hypothesis des Aristophanes

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην ἐφωράθη, καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος ἀνήρηται· ἐφ᾽ ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα ξίφει ἑαυτὸν διεχειρίσατο. Ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

ἐφωράθη: *sie wurde gesehen/ertappt*
μνημεῖον κατάγειον: *unterirdisches Grabmal*
ἀνήρηται: Pf. Pass. v. ἀναιρέω: *töten*
δυσπαθέω: *in tiefer Trauer sein*
διαχειρίζομαι: *sich töten*

Κεῖται ἡ μυθοποιΐα καὶ παρὰ Εὐριπίδη ἐν «Ἀντιγόνη»· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τέκνον τίκτει τὸν Μαίονα.

ἡ μυθοποιΐα: *die Mythendichtung*

φωραθεῖσα: *auf frischer Tat ertappt*

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. Ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων. Προλογίζει ἡ Ἀντιγόνη· ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. Τὸ δὲ κεφάλαιόν ἐστι τάφος Πολυνείκους, Ἀντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος καὶ μόρος Εὐρυδίκης τῆς Αἵμονος μητρός. Φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. Λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.